Αιγ 1191

# ΑΚΟΛΟΥΘΙΑ

# ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ ΠΑΡΑΣΚΕΥΗΣ

## ΤΗΣ ΚΑΤΑΓΟΜΕΝΗΣ ΕΚ ΣΗΛΥΜΒΡΙΑΣ

*Ψαλλομένη τὴν 14 Ὀκτωβρίου*




ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

18

Συντεθεῖσα ὑπὸ τοῦ ἐλαχίστου ἐν Ἱερεῦσι Γεωργίου.
Βουτέρη, ἐφημερίου τοῦ Ἱεροῦ Ναοῦ Ὁσίου Μελετίου.

1918.

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ ΠΑΡΑΣΚΕΥΗΣ

**ΤΗΣ ΚΑΤΑΓΟΜΕΝΗΣ ΕΚ ΣΗΛΥΜΒΡΙΑΣ**

***Ψαλλομένη τὴν 14 Ὀκτωβρίου***




ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**Συντεθεῖσα ὑπὸ τοῦ ἐλαχίστου ἐν Ἱερεῦσι Γεωργίου Α. Βουτέρη, ἐφημερίου τοῦ Ἱεροῦ Ναοῦ Ὁσίου Μελετίου.**

**1920.**

ΒΙΒΛΙΟΧΑΡΤΟΠΩΛΕΙΟΝ
ΑΝΔΡ.
18 ΦΕΒ. 1936

## *Κυριακὴ τῶν Ἁγίων Πατέρων τῆς Οἰκουμενικῆς Ἑβδόμης Συνόδου.*

### *Ἀπολυτίκιον Ἀναστάσιμον, καὶ τῶν Πατέρων ἦχος πλ΄ δ΄.*

Ὑπερδεδοξασμένος εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ φωστῆρας ἐπὶ γῆς, τοὺς Πατέρας ἡμῶν θεμελιώσας, καὶ δι᾽ αὐτῶν πρὸς τὴν ἀληθινὴν πίστιν, πάντας ἡμᾶς ὁδηγήσας, πολυεύσπλαχνε, δόξα σοι.

### *Κοντάκιον ἦχος β΄. Χειρόγραφον εἰκόνα...*

Ὁ ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς ἀρρήτως, ἐκ γυναικὸς ἐτέχθη, διπλοῦς τῇ φύσει· ὃν εἰδότες οὐκ ἀρνούμεθα τῆς μορφῆς τὸ ἐκτύπωμα· αὐτὸ δὲ εὐσεβῶς ἀνιστοροῦντες, σέβομεν πιστῶς· καὶ διὰ τοῦτο, τὴν ἀληθινὴν πίστιν, κρατοῦσα ἡ Ἐκκλησία, ἀσπάζεται τὴν εἰκόνα τῆς Χριστοῦ ἐνανθρωπήσεως.

### *Μεγαλυνάρια*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Τὰ ἱερὰ τοῦ Πνεύματος ὄργανα, τὰ τῆς εὐσεβείας οὐρανόβροντα στόματα, τὰς πυρίπνους γλώσσας, τοὺς κήρυκας, τοῦ λόγου, τοὺς θείους Ποιμενάρχας, ὕμνοις τιμήσωμεν.

Πατέρες οὐρανόφρονες τῆς σεπτῆς Ἑβδόμης Συνόδου, ἱκετεύσατε τὸν Θεόν, ρυσθῆναι ἐκ πάσης αἱρέσεως καὶ βλάβης, τοὺς τὴν ὑμῶν ὑμνοῦντας Σύνοδον.

Δεῦτε εὐφρανθῶμεν πνευματικῶς, καὶ συμφώνως πάντες, ἐκβοήσωμεν τῷ Χριστῷ, τὴν εἰρήνην δίδου, τὴν σὴν, λιταῖς Πατέρων Συνόδου τῆς Ἑβδόμης ἡμῶν φιλάνθρωπε.

### *(Κοινωνικὸν)*

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι Ἀλληλούϊα.

***Γεώργιος Α. Βουτέρης Ἱερεύς. Ἀθῆναι 20 Ἰουλίου 1920***

## *'Οκτωβρίου 14*

### *Τῆς Ἁγίας Ὁσιομάρτυρος Παρασκευῆς τῆς θαυματουργοῦ*

### *Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ ἱστῶμεν στίχους 8.*
### *Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Παρασκευὴν τὴν Ἁγίαν, δεῦτε τιμήσωμεν, αὐτῆς γὰρ ταῖς πρεσβείαις, ἐξιλάσθη ὁ πάντων, Δεσπότης ὁ δικαίως ἡμῖν ὀργισθείς, καὶ θαλάσσης τὸ ὅρμημα πάλιν δραμῆσαν κελεύσματι θεϊκῷ, εἶδε Χίος πᾶσα σήμερον.

Μαρτυρικὴν παρρησίαν πρὸς τὸν νυμφίον σου, σὺ τὸν Χριστὸν πλουτοῦσα πανοσία καὶ μάρτυς πρέσβευε ὑπὲρ πάντων, τῶν σοὶ ἐκτενῶς προσπιπτόντων ἐν θλίψεσι, καὶ τῶν κινδύνων λυτροῦσα καὶ πειρασμῶν, καὶ ἡμᾶς πάλαι διέσωσας.

Ἀνευφημοῦμέν σε πόθῳ, ἀνακηρύττοντες, ἁπανταχοῦ τὴν χάριν, ἀνείκαστον ὄντως· καὶ γὰρ σὺν Ἀμβροσίῳ τῷ σῷ Ἱερεῖ καθυπέσχου ἀλώβητον, διατηρήσειν τὴν Χίον ἐκ τῆς ὀργῆς, καὶ ταῖς σαῖς πρεσβείαις σέσωσται.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

### *Καὶ τῶν Ἁγίων Μαρτύρων ἦχος δ΄ ὡς γενναῖον ἐν μάρτυσι.*

Οἱ τῆς πίστεως πρόμαχοι, τὸν ἀγῶνα τελέσαντες, τὸν τῆς νίκης στέφανον ἐκομίσαντο· ὁ γενναιόφρων Ναζάριος, ὁ μέγας Προτάσιος, σὺν Κελσίῳ τῷ σοφῷ, ὁ θεόφρων Γερβάσιος, οὓς ὑμνήσωμεν, ὡς γενναίους ὁπλίτας, ὡς τῆς ἄνω βασιλείας κληρονόμους, ὡς ἐθελόθυτα θύματα.

Ὁ θεόφρων Ναζάριος, τῷ ἐνθέῳ κηρύγματι, πόλεις διερχόμενος κατεφώτισεν· ὃν μιμησάμενος Κέλσιος, τὸ κλέος ἐκτήσατο, τῶν ἐνθέων ἀθλητῶν, συμπατήσας τὸν δόλιον· τούτους ἅπαντες, ἐν αἰνέσει τιμῶμεν ὡς ἀστέρας, ὡς φωστῆρας τῶν ἐν σκότει, καὶ ἰατροὺς τῶν ψυχῶν ἡμῶν.

Ἐκκλησία λαμπρύνθητι, καὶ τὰ τέκνα σου κάλεσον, ὑψηλῷ κηρύγματι συνευφραίνεσθαι, ἡ γὰρ κιθάρα τοῦ Πνεύματος, ἡ λύρα ἡ ἔνθεος, συγκαλεῖται μυστικῶς, εἰς ἑστίασιν ἅπαν-

τας, τὰ μελλίρρυτα καὶ θεόφθεγκτα ταύτης τῶν ᾀσμάτων, μελωδήματα προθεῖσα Κοσμᾶς ὁ θεῖος καὶ ἔνδοξος.

*Τοῦ Ἱεράρχου ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Τὴν σὴν πανίερον μνήμην, Πάτερ Ἰγνάτιε, πιστῶς ἐπιτελοῦντες, ἐξαιτοῦμέν σε πόθῳ, χάριν τε παρέχειν ἡμῖν δαψιλῆ, τοῖς Χριστοῦ βαίνειν ἴχνεσι, καὶ προσβολὰς ἐναντίας τῶν δυσμενῶν ἀποκρούεσθαι πρεσβείαις σου.

*Ἁγίου Θεράποντος ἦχος α΄. Πανεύφημοι μάρτυρες.*

Θεράπων μακάριε βαφαῖς, τοῦ οἰκείου αἵματος, τὴν ἱεράν σου καὶ ἔνθεον, στολὴν ἐφαίδρυνας, μεθ' ἧς πρωτοτόκον, ἐκκλησίαν ηὔφρανας, χοροῖς Ἱεραρχῶν καὶ Μαρτύρων νῦν, συναγαλλόμενος, Ἱεράρχης ὢν καὶ σύναθλος, μεθ' ὧν εὔχου, ὑπὲρ τῶν τιμώντων σε.

*Δόξα Πατρί. Τῆς Ἁγίας Παρασκευῆς ἦχος β΄.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἀγάλλεται σήμερον ἡ Χίος ἅπασα, ἐπὶ τῇ μνήμῃ τῆς Ὁσιομάρτυρος, φαιδρῶς πανηγυρίζουσα, ὅτι προστάτην αὐτὴν εὕρατο, ἐν κινδύνοις θερμότατον· καὶ γάρ ποτε κατακλυσμοῦ πανωλεθρίαν, τῆς γείτονος θαλάσσης, ἀπειλησάσης κατὰ τῆς πόλεως, αὐτὴ πρὸς τὸν κοινὸν Δεσπότην, τῶν μαρτυρικῶν αὐτῆς χειρῶν χρησαμένη ἐκτάσεσι, παραδόξως ταύτην ἐρρύσατο. Διὸ καὶ ἡμεῖς οἱ τῶν σεσωσμένων ἀπόγονοι, τὸν ἐτήσιον ἐγκαινισμὸν ἐπιτελοῦντες τοῦ θαύματος, ἐν πίστει καὶ πόθῳ πρὸς αὐτὴν βοήσωμεν, λέγοντες· Παρασκευὴ πανθαύμαστε, μὴ ἐλλίπῃς ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσα.

*Καὶ νῦν Θεοτοκίον ἦχος β΄.*

Παρῆλθεν ἡ σκιὰ τοῦ Νόμου, τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω Παρθένος ἔτεκε, καὶ Παρθένος ἔμεινεν, ἀντὶ στύλου πυρὸς δικαιοσύνης ἀνέτειλεν ἥλιος· ἀντὶ Μωϋσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

***Εἴσοδος. Τὸ φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.***

***Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.***

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ· γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι, ἔμπροσθέν μου, οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾿ ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμὶ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδησα, καὶ οὐκ ἦν ἐν ὑμῖν Θεὸς ἀλλότριος, ὑμεῖς ἐμοὶ Μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ἔτι ἀπ᾿ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό, οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

***Προφητείας Ἱερεμίου τὸ Ἀνάγνωσμα.***

Περιδράμετε ἐν ταῖς ὁδοῖς Ἱερουσαλήμ, καὶ ἴδετε, καὶ γνῶτε, ζητήσατε ἐν ταῖς πλατείαις αὐτῆς, εἰ ἐστὶ ποιῶν κρίμα, καὶ ζητῶν πίστιν καὶ ἵλεως ἔσομαι αὐτοῖς λέγει Κύριος· ἀκούσατε δὴ ταῦτα λαὸς μωρὸς καὶ ἀκάρδιος· ὀφθαλμοὶ αὐτοῖς καὶ οὐ βλέπουσιν· ὦτα αὐτοῖς, καὶ οὐκ ἀκούουσιν· μὴ ἐμὲ οὐ φοβηθήσεσθε λέγει Κύριος, ἢ ἀπὸ προσώπου μου οὐκ εὐλαβηθήσεσθε, τὸν τάξαντα ἄμμον ὅριον τῇ θαλάσσῃ πρόσταγμα αἰώνιον, καὶ οὐχ ὑπερβήσεται αὐτό, καὶ ταραχθήσεται, καὶ οὐ δυνήσεται, καὶ ἠχήσουσι τὰ κύματα αὐτῆς, καὶ οὐχ ὑπερβήσεται αὐτό· τῷ δὲ λαῷ τούτῳ ἐγεννήθη καρδία ἀνήκοος καὶ ἀπειθής, καὶ ἐξέκλιναν καὶ ἀπῆλθον· καὶ οὐκ εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν, φοβηθῶμεν δὴ Κύριον τὸν Θεὸν ἡμῶν, τὸν διδόντα ἡμῖν ὑετὸν πρώϊμον καὶ ὄψιμον, κατὰ καιρὸν πληρώσεως προστάγματος θερισμοῦ, καὶ ἐφύλαξεν ἡμῖν· καὶ παρέβησαν κρίσιν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

οὐκ ἔκριναν κρίσιν ὀρφανοῦ, καὶ κρίσιν χήρας, οὐκ ἔκρινον· μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψωμαι; λέγει Κύριος· ἢ ἐν ἔθνει τῷ τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου; ἔκστασις καὶ φρικτὰ ἐγεννήθη ἐπ᾽ αὐτοῖς.

***Προφητείας Ναοὺμ τὸ Ἀνάγνωσμα.***

Κύριος μακρόθυμος καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ· καὶ ἀθῶον οὐκ ἐκδικήσει Κύριος, ἐν συντελείᾳ καὶ ἐν σεισμῷ ἡ ὁδὸς αὐτοῦ· καὶ νεφέλαι κονιορτὸς ποδῶν αὐτοῦ· ἀπειλῶν θαλάσσῃ καὶ ξηραίνων αὐτήν, καὶ πάντας τοὺς ποταμοὺς ἐξερημῶν· ὠλιγώθη ὁ Βασανίτης, καὶ ὁ Κάρμηλος· καὶ τὰ λοιπὰ ἐξανθοῦντα τοῦ Λιβάνου ἐξέλιπε· τὰ ὄρη ἐσείσθησαν ἀπ᾽ αὐτοῦ, καὶ οἱ βουνοὶ ἐσαλεύθησαν· καὶ ἀνεστάλη ἡ γῆ, ἀπὸ προσώπου αὐτοῦ, ἡ σύμπασα καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ· ἀπὸ προσώπου ὀργῆς αὐτοῦ τίς ὑποστήσεται; καὶ τίς ἀντιστήσεται ἐν ὀργῇ θυμοῦ αὐτοῦ; ὁ θυμὸς αὐτοῦ τήκει ἀρχὰς καὶ πέτραι διεθρύβησαν ἀπ᾽ αὐτοῦ, τί λογίζεσθε ἐπὶ Κύριον; καὶ συντέλειαν αὐτὸς ποιήσεται· οὐκ ἐκδικήσω δὶς ἐπὶ τὸ αὐτὸ ἐν θλίψει· τάδε λέγει Κύριος κατάρχων ὑδάτων πολλῶν, καὶ οὕτω διασταλήσονται καὶ ἡ ἀκοή οὐκ εἰσακουσθήσεται ἔτι.

***Ἡ λιτὴ τοῦ Ναοῦ τῆς Μεταμορφώσεως ἦχος Β΄.***

Ὁ φωτί σου ἅπασαν τὴν οἰκουμένην ἁγιάσας, εἰς ὄρος ὑψηλὸν μετεμορφώθης ἀγαθέ, δείξας τοῖς Μαθηταῖς σου τὴν δυναστείαν σου, ὅτι κόσμον λυτροῦσαι ἐκ παραβάσεως· διὸ βοῶμέν σοι: Εὔσπλαχνε Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν.

***Τῆς Ἁγίας Παρασκευῆς ἦχος πλ΄ α΄.***

Ὡς ἐν πέτρᾳ στερρᾷ, τῆς ὁμολογίας Χριστοῦ, προσερεισθεῖσα Παρασκευὴ πανεύφημαι, τὴν παλαιμναῖον ἐχθρόν, εἰς χάος ἐβύθησας, καὶ στέφος δὲ τῆς νίκης ἐπάξιον ἀπείληφας.

***Ἁγίου Θεράποντος ἦχος α΄.***

Ἐνατενίσας ἀκλινῶς θεράπων πρὸς τὸν σὸν ποθούμενον

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Χριστόν, Ὃν καὶ νοητῶς κατοπτεύσας νοῦ καθαρότητι, παρ' οὗ καὶ φωτισθείς, σαῖς διδαχαῖς κόσμον κατεφώτισας, δι' οὗ καὶ νομίμως ἀθλήσας τὸ σὸν αἷμα ἐξέχεας· πρὸς ὃν ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Δόξα τῆς Ἁγίας Παρασκευῆς ἦχος πλ΄ β΄.*

Σήμερον ἡ Χίος πᾶσα, τὴν ἀνάμνησιν ἄγει, τοῦ σώσαντος αὐτὴν παραδόξου θαύματος, ὃ μαρτυρικῇ παρρησίᾳ πρὸς Θεὸν τὸν τῶν ὅλων Δεσπότην, κεχρημένη ἐτέλεσε, Παρασκευὴ ἡ πανθαύμαστος· τὴν γοῦν εὐεργεσίαν ἀνακηρύττουσα, αἰτεῖται δι' αὐτῆς ἑκάστοτε, παρὰ Θεοῦ τὸ μέγα ἔλεος.

*Καὶ νῦν Θεοτοκίον ἦχος β΄.*

Δεῦτε φιλεόρτων συστήματα, ἐν καθαρᾷ καρδίᾳ, καὶ συνειδότι εὐστάθμῳ τῇ Παρθένῳ τὸν ὕμνον προσείσωμεν λέγοντες· σὺ ἡμῶν σκέπη καὶ βοήθεια Δέσποινα, καὶ τῇ σεπτῇ σου Σκέπῃ διασώζεις ἀεί, τοὺς εἰς σὲ καταφεύγοντας· σκέπασον οὖν ἡμᾶς τοὺς σὲ παρακαλοῦντας· καὶ πυρὸς γεέννης ἐξάρπασον, ἐν ὥρᾳ τῆς δίκης, ὡς πάντα ἰσχύουσα, μετὰ Θεὸν τῇ θερμῇ σου πρεσβείᾳ, Πανύμνητε, Θεοτόκε Παντάνασσα.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*Ἀπόστιχα Στιχηρὰ προσόμοια ἦχος πλ΄ β΄.*
*Ὅλην ἀποθέμενοι.*

Δεῦτε Χίος ἅπασα, πνευματικῶς συνελθόντες, τὴν σεπτὴν ἀνάμνησιν, τῆς Ὁσιομάρτυρος ἐκτελέσωμεν, τοῦ φρικτοῦ θαύματος, ὃ κοινῶς ἔσωσε ποντουμένην ἐκ τοῦ κλύδωνος, τὴν Πόλιν ἅπασαν· νεύματι γὰρ θείῳ ἡ θάλασσα τὰ ὅρια ἐκβέβηκεν, ἅπερ ἀπ' ἀρχῆς αὐτῇ τέθειται, ἵνα κατακλύσῃ ἀνόμους τοὺς ὑβρίζοντας Θεόν, ἀλλὰ πρεσβείαις τῆς Μάρτυρος, πάλιν ἐπανέκαμψεν.

*Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαίροις παναοίδιμε Παρασκευὴ σοὶ βοῶμεν, ἡ τὴν Χίον

σώσασα, τοῦ παγκοίνου κλύδωνος ταῖς πρεσβείαις σου, τὸν θυμὸν παύσασα τοῦ κοινοῦ ἄνακτος· ἐν νεφέλῃ γὰρ ὁλόφωτον, ὕψοῦ ἑώρακεν, αἴρουσαν σὰς χεῖρας Ἀμβρόσιος ὁ Ὅσιος καὶ ἤκουσε, φόβον ἀποθέσθαι χαώσεως· καὶ νῦν κατὰ χρέος ἐτήσιον, τελοῦντες ἑορτήν, ἀνακροτοῦμεν τὴν χάριν σου, Μάρτυς ἀξιάγαστε.

*Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ*

Νῦν εὐχαριστοῦμέν σοι Παρασκευὴ Ἀθλοφόρε, ἐτησίως μέλποντες ἐν Ναῷ Ἁγίῳ σου καὶ κηρύττοντες, ὡς ἡμᾶς ἔσωσας, τοῦ δεινοῦ κλύδωνος ἀνομοῦντας πρὸς τὸν Κύριον, καὶ σοῦ δεόμεθα, πρόστηθι εὐσπλάγχνως ἑκάστοτε, συνέριθον λαμβάνουσα, ἐν ταῖς πρὸς Θεὸν σου ἐντεύξεσι, τὴν σεπτὴν Ματρῶναν τῆς Χίου οὖσαν στήριγμα ἀεί· καὶ γὰρ ὡς δύο εἰς κρείττονας, τῆς γραφῆς ἀκούομεν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*Ἦχ. Δ΄ Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν Ἁγίων αὐτοῦ... (Ἁγ. Ἰγνατίου)*

Τῷ Θεῷ παριστάμενος μετὰ πάντων Ἰγνάτιε, τῶν Ἁγίων πρέσβευε ὅπως ἵλεως ἁμαρτιῶν ὑμῖν γένηται ἐνῶρα τῆς κρίσεως καὶ μερίδος δεξιᾶς, παραστάτας ἐνδείξηται, ἡμᾶς ἅπαντας, καὶ τρυφῆς Παραδείσου ἀξιώσῃς, τῇ ἰδίᾳ συμπαθείᾳ ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

*Δόξα τῆς Ἁγίας Παρασκευῆς Ἦχος Α΄.*

Παρασκευὴ πανεύφημε, Μαρτύρων ἐγκαλλώπισμα, προστάτην σε τῆς Πόλεως ἡμῶν, παραδόξως ἐκ τῶν ἔργων ἐγνωκότες, καὶ πρεσβευτὴν πρὸς Θεὸν ἀκαταίσχυντον κατὰ χρέος σε γεραίρωμεν εὐχαριστοῦντες, ὅτι σπλαγχνισθεῖσα, ἐφ᾽ ἡμᾶς ἵλεων ἀπειργάσω τὸν Δεσπότην, ὥστε μὴ εἰς τέλος ἡμᾶς ἀπολέσθαι· καὶ νῦν σοῦ δεόμεθα, μὴ παύσῃ πρὸς αὐτόν, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσα, ὅπως εὕρωμεν ἔλεος, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

***Καὶ νῦν Θεοτοκίον. Τῆς ἁγίας Σκέπης ἦχος α΄.***

Δεῦτε πιστῶν ἡ ὁμήγυρις πᾶσα, καὶ μοναζόντων ὁ θίασος· τὴν τῆς Παρθένου πυρίμορφον Σκέπην, τὴν ἡμᾶς περισκέπουσαν, καὶ διασώζουσαν μεγαλύνωμεν· καὶ τοῖς ὕμνοις κροτοῦντες πνευματικῶς ἑορτάσωμεν· καὶ χαριστήριον αἶνον τῇ Παρθένῳ προσοίσωμεν· ὡς δι᾽ αὐτῆς σκεπόμενοι, πάντων δεινῶν ἐκλυτρούμεθα· καὶ ἐν ὥρᾳ τῇ φοβερᾷ τῆς αἰτήσεως, δι᾽ αὐτῆς σωθῆναι ἐλπίζομεν· καὶ λαβεῖν παρὰ Χριστοῦ τὸ μέγα ἔλεος.

***Νῦν ἀπολύεις. Τὰ ἀπολυτίκια. Οἱ μάρτυρές σου Κύριε. Ὀρθοδοξίας ὁδηγὲ τῆς Ἁγίας ἦχος α΄.***

Τῆς χαμαιζήλου τρυφῆς σοφῶς τὴν ἀπόλαυσιν, ὑπεριδοῦσα πρὸς θεῖα ἤρθης σκηνώματα, καὶ τῶν ἰάσεων τοῖς πιστοῖς πηγὴν κατέλιπες, τὸ ἱερόν σου σκῆνος, Μῆτερ πανεύφημε, Ἐπιβατῶν τὸ καύχημα τὸ τερπνόν, καὶ βεβαία προστάτης Παρασκευή, μὴ παύσης θερμῶς Χριστῷ τῷ Θεῷ ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσα.

***Δόξα τοῦ Ἱεράρχου Ἰγνατίου ἦχος α΄.***

Τὸν ποιμενάρχην Μεθύμνης Ἰγνάτιον ᾄσμασι, τὸν μετὰ πάντων Ἁγίων δοξασθέντα ἐν θαύμασιν, ὑμνήσωμεν ἀπαύστως οἱ πιστοί, συμφώνως ἐν ταύτῃ ἑορτῇ, καὶ ὡς πλεῖστα κατιδόντες ὑπ᾽ αὐτοῦ, θεραπευθέντα πάθη ἐκβοήσωμεν. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

***Καὶ νῦν τῆς Ἁγίας Σκέπης ἦχος α΄.***

Τῆς σκέπης σου τὴν χάριν ἀνυμνοῦμεν Παρθένε, ἣν ἐν τῷ πανσέπτῳ Ναῷ σου ἐφήπλωσας τοῖς πᾶσι. τὸ θαῦμα ἐκπλήττει πάντα νοῦν, πῶς θεῖόν σου Μαφόριον σεμνή, ἐφηπλοῦτο πανταχόθεν τοῖς λαοῖς, τῇ αἴγλῃ ἀστραπηφόρον· χάρις τῇ ἀντιλήψει σου σεμνή, χάρις τῇ θείᾳ σκέπῃ σου, χάρις τῇ προθυμείᾳ σου μόνη θεόνυμφε.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

***Ἀπόλυσις τοῦ ἑσπερινοῦ. Εἰς τὸν ὄρθρον κάθισμα ἦχος α΄ Τὸν Τάφον σου Σωτήρ.***

Ὡς ἄμωμος ἀμνάς, καὶ ἁγνὴ τῷ Κυρίῳ συνήφθης μυστικῶς, ἐν σεμνότητι βίου, τῷ κάλλει τῆς ἀθλήσεως, σεαυτὴν ὡραΐσασα· ὅθεν εἴληφας παρὰ Θεοῦ Μάρτυς χάριν, πάσης θλίψεως, τοὺς προσιόντας σοι πίστει κινδύνων ἐκρύεσθαι.

***Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον.***

Τὴν σκέπην σου Ἁγνή, τὴν σεπτὴν προσκυνοῦμεν, τὴν πάντας τοὺς πιστούς, περισκέπασον ὄντως· συμφώνως γεραίροντες, σοῦ τὴν δόξαν τὴν ἄρρητον· σὺ γὰρ πέφυκας, Σκέπη ἡμῶν καὶ προστάτις καὶ βοήθεια, τῶν εὐλαβῶς ἐκτελούντων, σῆς Σκέπης ἀνάμνησιν.

***Β΄. Στιχολογίαν Κάθισμα ἦχος δ΄. Ἐπεφάνης σήμερον.***

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Εὐφροσύνως σήμερον, ἡ Χίος πᾶσα, ἐπληρώθη ἅπασα, ἐν τῇ πανδήμῳ ἑορτῇ, Παρασκευῆς τῆς θεόφρονος, μεγαλοφώνως, τὴν χάριν κηρύττουσα.

***Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον ἦχος ὁ αὐτός.***

Ἐν τῇ Σκέπῃ Ἄχραντε, τῇ φεραυγῇ σου, προσφυγόντας σκέπασον, καὶ διαφύλαξον ἡμᾶς, ἀπὸ κινδύνων καὶ θλίψεων, ὅπως τιμῶμεν τὴν ἄμαχον Σκέπην σου.

***Κάθισμα μετὰ τὸν Πολυέλεον ἦχος πλ΄ δ΄. Τὸ προσταχθὲν μυστικῶς.***

Τῶν θαυμασίων τοῦ Θεοῦ ἄγοντες μνείαν, ἑτοιμαζώμεθα πιστοί, πρὸ τῆς ἐξόδου, καὶ τῆς πίστεως ἀξίως πολιτευθῶμεν, ὁ Παῦλος γὰρ πᾶσι λέγει, ὡς φοβερόν, εἰς χεῖρας Θεοῦ τῶν ὅλων, ἐμπεσεῖν· ὅθεν φόβῳ λατρεύσωμεν, ἡμέραν ὄντως τὴν φρικτήν, ἐκείνην ἐνθυμούμενοι ὅτι κρίνει τὰ σύμπαντα.

***Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον ἦχος ὁ αὐτός.***

Τῶν εὐσεβῶν καὶ μοναζόντων αἱ χορεῖαι, πρὸς τὴν σὴν Σκέ-

πην νῦν προστρέχομεν, Παρθένε, καὶ ἐκ πόθου ἅπαντες, ταύτην προσκυνοῦντες, βοῶμεν μετ' εὐλαβείας Μήτηρ Θεοῦ, ἐν ὥρᾳ τῆς καταδίκης τῆς φοβερᾶς, σκέπασον καὶ ἐξάρπασον, κολάσεως ὀδυνηρᾶς, ἵνα πόθῳ δοξάζωμεν τὴν θερμήν σου ἀντίληψιν.

***Οἱ ἀναβαθμοὶ τοῦ δ΄ ἤχου. Τὸ προκείμενον. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου. Τὸ πᾶσα πνοή. Τὸ εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.***

Τῷ καιρῷ ἐκείνῳ συγκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα Μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια, καὶ νόσους θεραπεύειν. Καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας. Καὶ εἶπε πρὸς αὐτούς. Μηδὲν αἴρετε εἰς τὴν ὁδόν, μήτε ῥάβδους, μήτε πήραν, μήτε ἄρτον, μήτε ἀργύριον, μήτε ἀνὰ δύο χιτῶνας ἔχειν. Καὶ εἰς ἣν ἂν οἰκίαν εἰσέλθητε, ἐκεῖ μένετε, καὶ ἐκεῖθεν ἐξέρχεσθε. Καὶ ὅσοι ἂν μὴ δέξωνται ὑμᾶς, ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης, καὶ τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν ἀποτινάξατε, εἰς μαρτύριον ἐπ' αὐτούς. Ἐξερχόμενοι δὲ διήρχοντο κατὰ τὰς κώμας, εὐαγγελιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ.

***Ὁ Ν. Πεντηκοστός. Δόξα ταῖς τῶν σῶν Μαρτύρων. Καὶ νῦν ταῖς τῆς Θεοτόκου καὶ τὸ ἰδιόμελον τῆς Ἁγίας Παρασκευῆς ἦχος πλ΄ β΄.***

Σήμερον ἡ Χίος πᾶσα, τὴν ἀνάμνησιν ἄγει, τοῦ σώσαντος αὐτὴν παραδόξου θαύματος, ὃ μαρτυρικῇ παρρησίᾳ πρὸς Θεὸν τὸν τῶν ὅλων Δεσπότην, κεχρημένη ἐτέλεσε, Παρασκευὴ ἡ πανθαύμαστος, τὴν γοῦν εὐεργεσίαν ἀνακηρύττουσα· αἰτεῖτε δι' αὐτῆς ἑκάστοτε, παρὰ Θεοῦ καὶ τὸ μέγα ἔλεος.

***Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Ἐλέει καὶ οἰκτιρμοῖς. Οἱ κανόνες τοῦ Μηναίου τῆς Ἁγίας ἦχος δ΄. Ὠδὴ α΄.***

Ὑμνοῦσι τὴν φωτοφόρον μνήμην σου Μάρτυς πανεύφημε.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

χάριν δοθῆναι αἴτησαι ἡμῖν, καὶ πταισμάτων τὴν ἄφεσιν, Παρασκευὴ ἀοίδιμε, ταῖς πρὸς τὸν Κύριον δεήσεσι.

Νομίσας τῆς καρτερίας λύειν σου, Μάρτυς τὸ ἔντονον, ὁ τοῖς ξοάνοις τύραννος δεινῶς, ἀπονέμει προσκύνησιν, ἀλλὰ σοφοῖς σου ῥήμασιν, τούτου τὸ θράσος ἅπαν λέλυται.

(Δόξα)

Τῆς Χίου σὺ ἀρωγὸς ἀνεφάνης, Μάρτυς πανεύφημε, ταῖς σαῖς πρεσβείαις, στήσασα ὁρμήν, τῆς θαλάσσης καὶ ἔσωσας κατακλυσμοῦ τοὺς κράζοντας, πρόφθασον ῥῦσαι κινδυνεύοντας.

*Θεοτοκίον.*

Ὁ λόγος ἐκ σῶν ἀχράντων Δέσποινα, αἱμάτων τίκτεται, ἐμψυχωμένην σάρκα εἰληφώς, καὶ ἡμᾶς ὀλισθήσαντας, ἀπατεῶνος δήγματι, τῷ θείῳ κράτει ἀνεπλάσατο.

***Ὠδὴ Γ΄. Εὐφραίνεται ἐπὶ σοὶ ἦχος δ΄.***

Ἐνείρου τὸ ἀσθενὲς, τὸ θεῖον Πνεῦμα, καὶ φαιδρὸν δέδειχεν ἐξεικονίζον ἄριστα, τῆς σῆς ἐξαιφνοῦς ψυχῆς ἔλλαμψιν.

***Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.***

Ρυσθεῖσα σθένει Χριστοῦ, τὰς τῶν βουνεύρων, ἀφειδῶς μάστιγας Μάρτυς Χριστοῦ ὑπέφερες, οἷός τις ἀδάμας στερρότατος.

(Δόξα Πατρὶ)

Δεήσει σου πρὸς Θεόν, τὸ τῆς θαλάσσης μανιακὸν ὅρμημα, τοῦ καὶ ἀπειλὴν τοῦ κλείδωνος, εἰς τὸ γαληνὸν ἡμῖν ἔτρεψας.

*Θεοτοκίον.*

Σὺ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ Θεοῦ γέγονας, ὅθεν σοι τὸ χαῖρε κραυγάζομεν.

***Αἴτησις. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν. Κάθισμα ἦχος Πλ΄ Δ΄.***
***Τὴν σοφίαν καὶ λόγον.***

Ἐκ σπαργάνων μητρῴων σὺ τῷ Χριστῷ, ἀνετέθης ὡς Μάρτυς διηνεκῶς, αὐτῷ εὐηρέστησας, τῷ Σωτῆρι τῶν ὅλων, καὶ τυράννων τὰ θράση, στερρῶς κατεπάτησας, καὶ βασάνους ὄν-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τως, ἀνδρείως ὑπέμεινας· ὅθεν ὁ Χριστός σοι, τοὺς στεφάνους κοσμίσας, ἐνδόξως ἡτοίμασεν εἰς νυμφῶνα οὐράνιον, Παρασκευὴ ἀξιάγαστε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

*Δόξα καὶ νῦν. Θεοτοκίον τῆς Ἁγίας Σκέπης.*

Ὡς νεφέλη καὶ σκέπη, στύλος πυρός, ἡλιόμορφον ἅρμα τε τοῦ Δαβίδ, κλίνη Σολομῶντος, Ἡσαΐου ὁ τόμος τε, σκηνὴ τοῦ Μωϋσέως, καὶ τεῖχος ἀδάμαντος, σὺ τοῦ Ἀμὼς ὑπάρχουσα, λυχνία χρυσήλατος, ἡ τοῦ Ζαχαρίου, Δανιὴλ τε τὸ ὄρος, πυξίον κροκόλευκον, Ἀββακοὺμ καὶ τὸ ἔξοχον, Προφητῶν περιήχημα· σκέπασον οὖν πάντας ἡμᾶς, τοὺς τιμῶντας θεῖόν σου Μαφόριον· καὶ λύτρωσαι παντὸς κακοῦ, ἡ τὰ πάντα ἰσχύουσα.

*Ὠδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα ἦχος δ΄. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἰαμάτων ἐντυχοῦσα καὶ χαρισμάτων, καὶ ὀπτασίας ἔνδοσε, τὰς θείας πηγάζες, χάριτας ἑκάστοτε τοῖς πίστει γεραίρουξι, καὶ τῷ σῷ τεμένει προστρέχουσι.

Ρυτίδα ὄντως καὶ σπίλον μηδόλως σχοῦσα, ἁγιασμόν τε σώματος, ἐπικτησαμένη, Ἀγγέλους τεθέασαι· μεθ' ὧν ἀνεκραύγαζες. Δόξα τῇ δυνάμει σου, Κύριε.

Ὡς κατάπληκτον ἰδόντες, ὁρμὴν ἐκείνην τὴν τῆς θαλάσσης, ἅπασα ἡ Πόλις θρηνοῦσα, σοὶ Μάρτυς προσέδραμον, ρυσθῆναι δεόμενοι, ἕτιμον προστάτην εὑρόντες σε.

(Καὶ νῦν καὶ ἀεί.)

Ἀπειρογάμως ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης, παρθενεύουσα πάλιν· ὅθεν ἀσιγήτοις φωναῖς· τὸ χαῖρε σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

*Ὠδὴ ε΄. Σὺ Κύριε φῶς ἦχος δ΄. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἠγώνισας σεμνή, καὶ τὸν τύραννον ἔκτινας, ρητρεύσεσι ταῖς πανσόφοις, πρὸ βημάτων ἐμφρόνως, τὸν Χριστὸν καταγγέλλουσα.

Νοῦν ἔχουσα στεῤῥόν, ἀπτοήτῳ φρονήματι, κατήσχυνας τῶν εἰδώλων, τὰ σεβάσματα πάντα, γραφικαῖς ἀποδείξεσιν.

(Δόξα Πατρὶ)

Ὑμνοῦμέν σε σεμνή, οἱ σωθέντες πρεσβείαις σου, δεόμενοι μέχρι τέλους, προστατεύειν τῆς Χίου, Παρασκευὴ ἀοίδιμε.

(Καὶ νῦν καὶ ἀεὶ)

Σὲ ὅπλον ἀρραγές, κατ᾽ ἐχθρῶν προβαλλόμεθα, σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, θεόνυμφε κεκτήμεθα.

***Ὠδὴ στʹ Ἦχος Δʹ. Θύσω σοι μετὰ φωνῆς αʹ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.***

Ἀγγέλους παρρησία τὴν στέρνοις τεθνεῖσαν σοι, μεγίστην πάνσεμνε, πλάκα καὶ χειρῶν τοὺς ἥλους ἔνδοξε Μάρτυς, ὁ Δεσπότης ῥοπῇ θείᾳ, θᾶττον ἠφάνισε.

Νέαν σε Πρωτομάρτυρα Θέκλαν δοξάζομεν, οἷαν κηρύξασαν πᾶσι, καὶ πολλοὺς φωτίζουσαν θείῳ λόγῳ, καὶ ἀπίστους πρὸς τὴν ἔνθεον πίστιν ρυθμίζουσαν. (Δόξα)

Ἔστησας θαλαττίων ρευμάτων τὴν ἔφοδον, μαρτυρικῇ παρρησίᾳ, κεχρημένη Μάρτυς καὶ τρέψασα, εἰς τὰ ὀπίσω, Παρασκευή, τῆς Χίου διάσωμα. (Καὶ νῦν)

Μάρανον καὶ προρρίζους, Πανάμωμε ἔκτιλον, τὰς ἀκανθώδεις ἐννοίας· τῆς ἐμῆς καρδίας καὶ καρποφόρον, ταύτην δεῖξον, μεσιτείᾳ σου Κόρη Πανάμωμε.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

***Αἴτησις. Σὺ γὰρ ὁ Βασιλεύς. Κοντάκιον ἦχος δʹ. Ἐπεφάνης σήμερον.***

Τὸν ναόν σου Πάνσεμνε ὡς ἰατρεῖον, ψυχικὸν εὑράμενοι, ἐν τούτῳ πάντες οἱ πιστοί, μεγαλοφώνως τιμῶμέν σε, Ὁσιομάρτυς Παρασκευὴ ἀοίδιμε.

***Ὁ Οἶκος.***

Ἡ τοῦ νυμφίου σὲ φωνή, καλέσασα ὡς νύμφην, στεφάνῳ ἀφθαρσίας, ἐκόσμισε θεόφρων Παρασκευὴ πανευκλεής, καὶ μετὰ Ἀθλοφόρων καὶ Μαρτύρων τῶν σεπτῶν, ἀξίως συνηρίθμησε· μεθ᾽ ὧν εὐφραινομένη μέμνησο, τῶν ἐκτελούντων τὴν ἀ-

γίαν σου ἑορτήν, καὶ συνελθόντων ἔνδον τοῦ Ναοῦ σου· ἐν αὐτῷ γὰρ νυνὶ παρεστῶτες, ἀπὸ ψυχῆς προσφερομέν σοι τοὺς ὕμνους, Ὁσιομάρτυς Παρασκευὴ ἀοίδιμε.

Τῷ αὐτῷ μηνὶ ΙΔ΄ τοῦ μηνὸς Ὀκτωβρίου. Τῶν Ἁγίων μαρτύρων Ναζαρίου, Προτασίου, Γερβασίου καὶ Κελσίου. Τῶν Ἁγίων 40 μαρτύρων τῶν ἐξ Αἰγύπτου καὶ Παλαιστίνης τελειωθέντων. Τοῦ Ἁγίου μάρτυρος Πέτρου. Τοῦ ὁσίου πατρὸς ἡμῶν Κοσμᾶ τοῦ ποιητοῦ. Τοῦ Ἁγίου μάρτυρος Σιλβανοῦ. Ὁ Ἅγιος Εὐθύμιος ὁ ἐν Θεσσαλονίκῃ ἀγωνισάμενος ὑπὲρ τῶν Ἁγίων Εἰκόνων τελειοῦται. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰγνατίου τοῦ Νέου Ἀρχιεπισκόπου Μεθύμνης τοῦ θαυματουργοῦ. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Θεράποντος τοῦ Ἱερομάρτυρος καὶ θαυματουργοῦ. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς Ὁσίας μητρὸς ἡμῶν Παρασκευῆς τῆς Νέας. Στίχ. Παρασκευὴν ὡς σκεῦος ἐκλελεγμένον. Χριστὸς τίθησιν, ἐν ταμείῳ τοῦ πόλου.

Ταῖς τῶν σῶν Μαρτύρων Ὁσίων καὶ Ἁγίων, καὶ τῆς Ἁγίας Παρασκευῆς μετὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς Ἀμήν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*Ὠδὴ ζ΄. Ἀβραμιαῖοι Παῖδες. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ὑπὸ Κυρίου, σὺ φρουρουμένη πρὸ βήματος ἀσεβῶν, Μάρτυς, τὰς μασχάλας ἔστεγες καρτερῶς, φλεγομένη καὶ ὑπέψαλλες, εὐλογητὸς εἶ ὁ Θεός μου καὶ Κύριος.

Φλέξαν μηδόλως, τοὺς παρανόμους, καίει μᾶλλον τὸ πῦρ, Κόρη, ὁ Χριστὸς δὲ φυλάττει σε ἀβλαβῆ, καθὼς πάλαι διεσώσατο, πυρὸς τοῦ βρέμοντος, ἄδεεῖς νεανίας χειρὶ κραταιᾷ.

(Δόξα Πατρὶ)

Ἔχει σε Μάρτυς, Πᾶσα ἡ Χίος προστάτην, Παρασκευή, ἥνπερ διέσωσας πάλαι κατακλυσμοῦ, καὶ πρεσβείαις σου πανεύφημε, Χριστὸν τὸν Κύριον, εὐμενῆ εὑρίσκει καὶ ἵλεων.

(Καὶ νῦν καὶ ἀεὶ)

Τὸ τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ Θεοτόκε τοῖς κραυγάζουσιν, εὐλογημένη σὺ ἐν γυναιξί· ὑπάρχεις Πανάμωμε Δέσποινα.

*᾽Ωδὴ η΄. Χεῖρας ἐκπετάσας. ῾Αγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Οὐκ ὄντως θεούς, ἀλλὰ ψευδῆ, δαιμόνων φάσματα, Μάρτυς ἀπέδειξας, καὶ κατηδάφισας τέλεον, κατελέπτυνας, ἐν εὐφροσύνῃ τῷ Χριστῷ, ἀπαύστως μέλπουσα· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ναοῦ δυνηθέντος ἐπὶ γῆς, ἐπιφοιτήσει σεμνῇ, ᾽Απόλλων πέπτοκε, καὶ κατηκόντισται ξόμνα, ἐνεργείᾳ τοῦ ἀχράντου Σταυροῦ, δι᾽ οὗ φραχθεῖσα μυστικῶς, ἐν παῤῥησίᾳ καὶ πολλῇ ἀνεβόας, πάντα τὰ ἔργα εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

(Δόξα Πατρί.)

Φόβων τῶν κινδύνων τοὺς λαούς, τῆς Χίου κράζοντες, Μάρτυς ἐλέησον, τοῖς αὐτῶν καμφθεῖσα δάκρυσιν πρὸς Χριστὸν τὰς χεῖρας αἴρουσα, Παρασκευή, πανευκλεής, τούτους ἀπήλλαξας, ἐκβοῶντας, Παρθενομάρτυς ταῖς λιταῖς σου, σῶσον ἡμᾶς τοὺς οἰκέτας σου.

(Καὶ νῦν)

Σὺ μόνη ἐν πάσαις γενεαῖς, Παρθένε ῎Αχραντε, Μήτηρ ἐδείχθης Θεοῦ, σὺ τῆς θεότητος γέγονας, ἐνδιαίτημα Πανάμωμε, μὴ φλογισθεῖσα τῷ πυρὶ τοῦ ἀπροσίτου φωτός· ὅθεν δὲ πάντες, σὲ εὐλογοῦμεν Μαρία θεόνυμφε.

*᾽Ωδὴ θ΄. Λίθος ἀχειρότμητος. ῏Ηχος Δ΄. ῾Αγία τοῦ θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ρειστῆς βιστῆς καὶ προσκαίρου, Μάρτυς θεόφρων ἀντηλλάξω, κάλλος τὸ ἀμήχανον ὁρῶν, τοῦ σοῦ Νυμφίου ἐπειγομένη τρανῶς, ὅθεν στεφάνων ἔτυχες, τῶν ἀκηράτων καλλιπάρθενε.

᾽Ακούσασα φωνῆς βεβαιούσης, Παρασκευὴ σοῦ τὰς αἰτήσεις, θείας οὐρανόθεν, καὶ τὸν δρόμον, προθύμως Μάρτυς σεμνὴ διήνυσας· καὶ πρὸς αὐτὸν ἀνέδραμες, κάραν τμηθεῖσαν τὴν ἐρύτιμον. (Δόξα Πατρὶ)

Φύλαττε τήν πόλιν Μάρτυς Χίος ἡ πόλις σου βοᾷ σοι, πᾶσι τοῖς τῷ Θείῳ Ναῷ σου προσερχομένοις, τὰς αἰτήσεις πλη-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ροῦσα, Ὁσιομάρτυς ἔνδοξε, μετὰ Ματρώνης τῆς θεόφρονος. (Καὶ νῦν)

Ὤφθης χερουβὶμ ἀνωτέρα, καὶ οὐρανῶν ὑψηλοτέρα, ἄχραντε Παρθένε Μαρία, βουλῆς μεγάλης Ἄγγελον τέξασα, σὺν τῷ Πατρὶ συνάναρχον, Κριτὴν ἁπάντων ἐλευσόμενον.

***Καταβασία εἰς ἦχον δ΄. Τῆς Ἁγίας Σκέπης τῆς Θεοτόκου.***

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον ἐρεύξομαι τῇ βασιλίδι Μητρὶ καὶ ὀφθήσομαι φαιδρῶς πανηγυρίζων, καὶ μέλψω γηθόμενος Σκέπην τὴν Πάντιμον.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε· ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον· καὶ Σκέπῃ τῇ Ἁγίᾳ σου, τοὺς σὲ γεραίροντας σκέπασον.

Ὁ καθήμενος ἐν δόξῃ ἐπὶ θρόνου θεότητος, ἐν νεφέλῃ κούφῃ ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος· τῇ ἀκηράτῳ Παρθένῳ, καὶ διέσωσε τοὺς τὴν Σκέπην νῦν, αὐτῆς τὴν θείαν δοξάζοντας.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἐν Βλαχερνῶν σου τῷ Πανιέρῳ Ναῷ ἐφήπλωσας Σκέπην σου σεπτήν, καὶ πιστοὺς ἐσκέπασας, σωτηρίαν βραβεύουσα.

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς θείας Σκέπης αὐτῆς, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν Κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον: Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

***Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.***

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διε-

σώσατο, τότε μὲν τυπούμενος νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἐγείρει ψάλουσαν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἄγγελοι τὴν Σκέπην τῆς Θεοτόκου, ὁρῶντες κατεπλήττοντο, πῶς περισκέπει καὶ σώζει, τοὺς ἐπ᾽ αὐτῇ πεποιθότας.

Ἅπας γηγενής, σκιρτάτω τῷ Πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων νόων φύσις γεραίρουσα, τὴν ἱερὰν πανήγυριν τῆς θεομήτορος, καὶ βοάτω, χαίροις παμμακάριστε, θεοτόκε ἁγνὴ ἀειπάρθενε.

***Ἐξαποστειλάριον τῆς Ἁγίας Παρασκευῆς. Γυναῖκες ἀκουτίσθητε.***

Ρωσθεῖσα καλλιπάρθενε, Σταυρῷ τῷ τοῦ Κυρίου σου, τυράννων ἔλυσας θράσος, ἀθλοῦσα Μάρτυς γενναίως, καὶ πρὸς Χριστοῦ ἀπείληφας, βραβεῖα νίκης πάνσοφε, Παρασκευὴ πανθαύμαστε, ὑπὲρ ἡμῶν δυσωποῦσα, τῶν σὲ τιμώντων ἐκ πόθου.

***Τοῦ Ἁγίου Ἰγνατίου τοῖς Μαθηταῖς συνέλθωμεν***

Τὸ τῆς Μηθύμνης καύχημα, τὸν Χριστοῦ Ἱεράρχην, Ἰγνάτιον τὸν ἔκλαμπρον, Οἰκουμένης φωστῆρα, τιμήσωμεν κατὰ χρέος, πρὸς Θεὸν ἐκβοῶντες· Θεὲ σῶσον, ἐλέησον, καὶ ἡμᾶς τοὺς σοὺς δούλους, καὶ τῆς χαρᾶς, τῆς ἐπουρανίου σου βασιλείας, ἀξίωσον φιλάνθρωπε, Ἰγνατίου πρεσβείαις.

***Θεοτοκίον***

Τετυρωμένον πάναγνε, καὶ πιώτατον ὄρος, Δαβὶδ θεογεννήτρια, μελωδῶν σε ἐκάλει, ὁ σὸς προπάτωρ Παρθένε, Σολομὼν δὲ ὁ θεῖος, κλίνην σαφῶς τοῖς ᾄσμασιν, Ἡσαΐας δὲ ῥάβδον καὶ Ἰακώβ, κλίμακα πρὶν σὲ εἶδε πύλην ἄλλος, ἐξ᾽ ἧς Θεὸς τὸ φύραμα νεουργεῖ τῶν ἀνθρώπων.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

***Εἰς τοὺς Αἴνους 3 τῆς Ἁγίας Παρασκευῆς. Ὁ ἐξ ὑψίστου κληθείς.***

Ὁ ἐλεήμων Θεὸς καὶ πάντων θέλων, οὔ ποτε τὸν θάνατον, ὡς τὴν μετάνοιαν θεοπρεπεῖ ἀγαθότητι κατοικτειρήσας, τὴν παντελῆ τῆς Χίου ἀπώλειαν, ἔνευσε τῇ Μάρτυρι, πρέσβυν εὐπρόσδεκτον αὐτῷ γενέσθαι, ὡς ηὔχετο· ἐπαγρυπνήσας, ὁ Θεοῦ μύστης, θεῖος Ἀμβρόσιος, τὴν καταιγίδα κατευνᾶσαι, ὡς ἀπειλοῦσαν τῆν πᾶσαν ποιήσασθαι, ὑποβρύχιον πόλιν, εἰς Θεὸν ἐξαμαρτήσασαν.

Ὁ Ἰωνᾶς Νινευῆ σώζει τὴν πόλιν, ταύτῃ τὸ ὀλέθριον κομίσας κήρυγμα, οἱ μεταγνόντες ἐσώθησαν, νῦν δὲ τὴν Χίον, Παρασκευή, ἡ θεία διέσωσε τείνασα πρὸς Κύριον, χεῖρας ἱκέτιδας, τὴν τῆς θαλάσσης ἐξόρμησιν, ἀναχαιτίσαι, ἐκμαινομένης πρὸς καταπόντισιν, χριστομιμήτῳ κεχρημένη φιλανθρωπίᾳ ὁμοῦ καὶ χρηστότητι, ὅστις σώζεσθαι θέλει, οὐκ ἀπόλλυσθαι τὸν ἄνθρωπον.

Μετανοεῖτε βροτοί, καὶ σωφρονεῖτε, φόβον συλλαμβάνοντες τῆς θείας κρίσεως· αὐτὰ βοῶσι τὰ θαύματα, ὧν ἐτησίως ἐπιτελοῦμεν τὴν ἀνακαίνησιν· εἰ γὰρ μὴ διόρθωσιν βίου ποιήσωμεν, ἔτι μειζόνως ἐκκαύσωμεν, τὴν θείαν δίκην· ὅθεν προθύμως, ἅπαντες σπεύσωμεν, ἐξευμενίσαι τὸν Δεσπότην, φιλανθρωπίαν ἡμῖν ἐπιδείξασθαι· τὴν γὰρ Μάρτυρα πρέσβυν, ἀκαταίσχυντον κεκτήμεθα.

***Τοῦ Ἁγίου ἦχος α΄. Πανεύφημοι μάρτυρες***

Συνδράμωμεν πίστει ἀκλινεῖ, πάντες ὦ φιλέορτοι, καὶ εὐλαβῶς ἀσπασώμεθα, τὴν θαυματόβρυτον, Κάραν Ἰγνατίου, καὶ ἀπαρυσώμεθα, παθῶν ἀθεραπεύτων ἰάματα, καὶ ὀσφραινόμενοι, εὐωδίας, ἥνπερ ἄρρητον, πᾶσι πνέει πανταχοῦ κηρύξωμεν.

**Δόξα τῆς Ἁγίας Παρασκευῆς ἦχος β΄.**

Ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ· ἐκεῖ κατεσκήνωσεν ἡ Ἁγία τὴν λαμπάδα ἄσβεστον τηρήσασα, ἀκούσωμεν τῆς Παρθένου ἐγκώμιον· ὢ Παρθενία Ναὸς Θεοῦ· ὢ Παρθενία Μαρτύρων δόξα· ὢ Παρθενία Ἀγγέλων συμμέτοχε.

**Καὶ νῦν Θεοτοκίον. Ἦχος ὁ αὐτός.**

Δεῦτε φιλεόρτων συστήματα, ἐν καθαρᾷ καρδίᾳ, καὶ συνειδότι εὐστάθμῳ, τῇ Παρθένῳ, τὸν ὕμνον προσοίσωμεν λέγοντες· σὺ ἡμῶν Σκέπη καὶ βοήθεια Δέσποινα, καὶ τῇ σεπτῇ σου Σκέπῃ διασώζεις ἀεί, τοὺς εἰς σὲ καταφεύγοντας· σκέπασον οὖν ἡμᾶς τοὺς σὲ παρακαλοῦντας, καὶ πυρὸς γεένης ἐξάρπασον, ἐν ὥρᾳ τῆς δίκης, ὡς πάντα ἰσχύουσα, μετὰ Θεὸν τῇ θερμῇ σου πρεσβείᾳ, Πανύμνητε, Θεοτόκε Παντάνασσα.

**Δοξολογία μεγάλη καὶ ἀπόλυσις. Εἰς τὴν λειτουργίαν τὰ Ἀπολυτίκια κατὰ βούλησιν ἀμφοτέρων.**

**Ἀπολυτίκιον τῶν Μαρτύρων ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Οἱ Μάρτυρές σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχοντες τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον, ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

**Ἀπολ. τῆς Ἁγίας Παρασκευῆς ἦχος α΄. Ἐν Ἰορδάνῃ.**

Τῆς χαμαιζήλου τρυφῆς σοφῶς τὴν ἀπόλαυσιν, ὑπεριδοῦσα πρὸς θεῖα ἤρθης σκηνώματα, καὶ τῶν ἰάσεων τοῖς πιστοῖς πηγὴν κατέλιπες, τὸ ἱερόν σου σκῆνος, Μῆτερ Πανεύφημε, Ἐπιβατῶν τὸ καύχημα τὸ σεπτόν, καὶ βεβαία προστά-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

της Παρασκευή· μὴ παύσῃ θερμῶς Χριστῷ τῷ Θεῷ, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσα.

*Τοῦ Ἁγίου Κοσμᾶ· ἦχος πλ΄ δ΄.*

Ὀρθοδοξίας ὁδηγέ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῆς οἰκουμένης ὁ φωστήρ, Ἀρχιερέων θεόπνευστον ἐγκαλώπισμα, Κοσμᾶ σοφέ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας λύρα τοῦ Πνεύματος· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Τοῦ Ἁγίου Ἰγνατίου· ἦχος α΄.*

Τὸν ποιμενάρχην Μηθύμνης, Ἰγνάτιον ᾄσμασι, τὸν μετὰ πάντων Ἁγίων, δοξασθέντα ἐν θαύμασιν ὑμνήσωμεν ἀπαύστως οἱ πιστοί, συμφώνως ἐν τούτου ἑορτῇ, καὶ ὡς πλεῖστα κατιδόντες ὑπ' αὐτοῦ θεραπευθέντα πάθη ἐκβοήσωμεν· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*Ἀπολυτίκιον Ἁγ. Ἱερομάρτυρος Θεράποντος· ἦχος Γ΄.*

Μέγαν εὕρατο ἡ Κωνσταντίνου, ῥύστην πρόμαχον καὶ ἰατῆρα νόσων παντοίων, θεράπων πανεύφημε, ὡς οὖν τυράννου καθεῖλες τὴν δύναμιν, καὶ ἐν σταδίῳ τὸν Χριστὸν Θεὸν ὡμολόγησας, οὕτω πάνσεπτε, αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Ἀπολ. τῆς Μεταμορφώσεως τοῦ Ναοῦ· ἦχος βαρύς,*

Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο. Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς τὸ φῶς σου τὸ ἀΐδιον. Πρεσβείαις τῆς Θεοτόκου, Φωτοδότα, δόξα σοι.

***Κοντάκιον τῶν μαρτύρων ἦχος** Α΄. **Χορὸς ἀγγελικός.***

**Μ**αρτύρων τοῦ Χριστοῦ τὴν τετράριθμον δόξαν, ὑμνήσωμεν πιστοί, εὐφημίαις ᾀσμάτων, Ναζάριον Προτάσιον, καὶ Γερβάσιον Κέλσιον· οὗτοι ἤθλησαν, μέχρι τομῆς καὶ θανάτου· οὗτοι στέφανον τῆς ἀφθαρσίας λαβόντες αἰτοῦσι σωθῆναι ἡμᾶς.

*Ἁγίου **Κοσμᾶ ἦχος πλ. Δ΄. Τῇ ὑπερμάχῳ.***

Κεκοσμημένος ἀρεταῖς Κοσμᾶ θεόπνευστε, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ κόσμος γεγένησαι, καὶ τοῖς ᾄσμασιν ἐκόσμησας ταύτην, μάκαρ. Ἀλλὰ πρέσβευε πρὸς Κύριον ῥυσθῆναι ἡμᾶς ἅπαντας, ἐκ παντοίων μηχανῶν τοῦ πολεμήτορος. Τοῖς σοὶ κράζοντας· Χαίροις Πάτερ τρισόλβιε.

***Κοντάκιον** Ἁγίας **Παρασκευῆς ἦχος β΄. Τὰ ἄνω ζητῶν.***

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Νηστείαις πολλαῖς τὸ σῶμα κατατήξασα, τὸν νοῦν πρὸς Θεόν, ἀνύψωσας μετάρσιον, καὶ ζωὴν ἀσώματον, μετὰ σώματος ἔζης ἀοίδιμε· λιποῦσα τῆς ὕλης τὸν τάραχον· διὸ νῦν χορεύεις σὺν Ἀγγέλων χοροῖς.

***Κοντάκιον** Ἁγίου **Ἰγνατίου ἦχος Δ΄. Ἐπεφάνης σήμερον.***

Θησαυρὸν πολύτιμον θαυματουργοῦσαν, ἐκλητοῦμεν ἅπαντες Κάραν πανίερον τὴν σήν, Ἱεροφάντορ Ἰγνάτιε ἀσπαζομένοις, ταύτην ἡμᾶς διαφύλαττε.

***Κοντάκιον** Ἁγίου **Θεράποντος ἦχος Γ΄.***
***Ἡ Παρθένος σήμερον.***

Ἱεράρχην ἅπαντες τὸ μέγα κλέος, συμφώνως ὑμνῳδίαις μέλψωμεν, ὡς γὰρ νομίμως ἀθλήσας, ᾔσχυνε πληθὺν δαιμόνων πᾶσαν εἰς τέλος, ξόανα κατεδαφίσας, ναοὺς ἐγείρει· διὰ τοῦτο καὶ ἐστέφθη, χειρὶ Κυρίου, στέφος οὐράνιον.

***Κοντάκιον τῆς Ἁγίας Σκέπης τῆς Θεοτόκου ἦχος πλ. Δ΄.***
***Τῇ ὑπερμάχῳ.***

Τῇ Θεοτόκῳ οἱ πιστοὶ νῦν προσπελάσωμεν, καὶ τὸ Μαφώριον αὐτῆς κατασπασώμεθα, ἀναμέλποντες ἐφύμνια κατὰ χρέος. Σκέπη πέλει γάρ, πιστοὺς σκέπουσα, ἅπαντας, καὶ φρουροῦσα ἐκ παντοίων περιστάσεων, τοὺς κραυγάζοντας· Χαῖρε Σκέπη ὁλόφωτε.

Σημ. Τὰ παρόντα Ἀπολυτίκια καὶ Κοντάκια πρέπει νὰ ἀναγινώσκωνται ἐν τῇ Λειτουργίᾳ, καὶ εἰς τὰς Ὥρας.

***Τοῦ Κυρίου δεηθῶμεν: Τὸν Τρισάγιον καὶ ὁ Ἀπόστολος.***

***Προκείμενον ἦχος Δ΄.***

***Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.***

***Πρὸς Κορινθίους Β΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα·***

Ἀδελφοί· ἔχοντες τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον: ἐπίστευσα, διὸ ἐλάλησα· καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν. Εἰδότες, ὅτι ὁ ἐγείρας τὸν Κύριον Ἰησοῦν, καὶ ἡμᾶς διὰ Ἰησοῦ ἐγερεῖ, καὶ παραστήσει σὺν ἡμῖν. Τὰ γὰρ πάντα δι' ὑμᾶς, ἵνα ἡ χάρις πλεονάσασα διὰ τῶν πλειόνων τὴν εὐχαριστίαν περισσεύσῃ εἰς τὴν δόξαν τοῦ Θεοῦ. Διὸ οὐκ ἐκκακοῦμεν· ἀλλ' εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσωθεν ἀνακαινοῦται ἡμέρᾳ τῇ ἡμέρᾳ. Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν, καθ' ὑπερβολήν, αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν· μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια.

(Ἀλληλούϊα τρίς).

***Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον.*** Κεφάλ. ΙΕ 21.

Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς, εἰς τὰ μέρη Τύρου

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

καὶ Σιδῶνος. Καὶ ἰδοὺ γυνὴ Χαναναία, ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα, ἐκραύγαζεν αὐτῷ λέγουσα· Ἐλέησόν με, Κύριε, Υἱὲ Δαβίδ, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. Καὶ προσελθόντες οἱ Μαθηταὶ αὐτοῦ, ἠρώτων αὐτὸν λέγοντες· Ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Οὐκ ἀπεστάλην εἰμὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Ἡ δὲ ἐλθοῦσα, προσεκίνει αὐτῷ λέγουσα· Κύριε, βοήθει μοι. Ὁ δὲ ἀποκριθεὶς εἶπεν, οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις. Ἡ δὲ εἶπε· Ναὶ Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψυχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. Τότε ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ· Ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις. Καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

### *Εἰς τὰ Δίπτυχα τὰ παρόντα Μεγαλυνάρια.*

Χαίροις ἡ ὁσία Παρασκευή, νέα τοῦ Δεσπότου, προσκυνήτρια καὶ φαιδρά, Ἐπιβατῶν ὁ γόνος Καλλικράτης ὁ θησαυρός, ὑπὲρ ἡμῶν Κυρίῳ ἀεὶ μνημόνευε.

Ἔχει τὸ σὸν Πνεῦμα ὁ οὐρανός, σῶμα δὲ τὸ θεῖον Μολδαβίας πόλις λαμπρά, ναόν σου δὲ πάλιν, ἡ σὴ Πατρὶς ὁσία, Παρασκευὴ ὁσία, σκέπε τοὺς δούλους σου.

### *Βίος τῆς Ἁγίας ἀντὶ τοῦ Κοινωνικοῦ.*

Γνωστὸν εἶναι ἐκ τῆς ἱστορίας, ὅτι ἡ Ἁγία Παρασκευὴ κατήγετο ἀπὸ τῆς κωμοπόλεως Θράκης Ἐπιβᾶται, καὶ ὅτι ἐκ μικρᾶς ἡλικίας ἐδιδάχθη ἀπὸ τοὺς γονεῖς της τὴν Ὀρθόδοξον πίστιν, ἀκούσασα τὸ ρητὸν τοῦ Εὐαγγελίου «Ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθήτω μοι» καὶ ἐγκαταλιποῦσα τὰ

ἐγκόσμια ἐπεδόθη εἰς τὸν μοναχικὸν καὶ ἀσκητικὸν βίον, καὶ ἀφοῦ περιῆλθε διάφορα προσκυνήματα πάντοτε μὲ τὴν ἱερὰν προσευχὴν εἰς τὰ χείλη της, καὶ ἀγάπην πρὸς πάντας, κατέληξε τέλος εἰς Καλικράτειαν τῆς Θράκης, ὅπου ἐκεῖ ἀπέθανεν· ἄγνωστον ὅμως ποίαν χρονολογίαν. . . . Τὸ δὲ 1442 μ. Χ. ἔγεινε τὸ ἑξῆς θαῦμα. Τῇ 14 Ὀκτωβρίου τὸ ἑσπέρας συνέβη ἐν τῇ Χίῳ μία μεγάλη καταιγὶς ἐπὶ πολλὰς ὥρας, ὅπου ἤνοιξαν οἱ καταῤῥάκται τοῦ Οὐρανοῦ, καὶ ἔβρεχεν ἀδιακόπως. Κατὰ τὴν ἑσπέραν ταύτην μετέβη ὁ τότε ἐφημέριος ἱερεὺς Ἀμβρόσιος εἰς τὸν Ναὸν τῆς Ἁγίας, διὰ νά τελέσῃ τὸν ἑσπερινόν του. Μὴ δυνάμενος ὅμως ἕνεκα τῆς πολυώρου βροχῆς καὶ τρικυμίας νὰ ἐπανέλθῃ εἰς τὸν οἶκόν του, ἔμεινεν ἐντὸς τοῦ Ναοῦ, προσευχόμενος καὶ παρακαλῶν τὸν Θεὸν καὶ τὴν Ἁγίαν, νὰ λυπηθῇ τὸν λαὸν τῆς Χίου, νὰ καταπαύσῃ τὴν βροχὴν καὶ τὴν τρικυμίαν, ὅπου προεμάντευε ὁ μέλλει ὁ Κύριος νὰ καταποντίσῃ τὴν νῆσον ταύτην.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἀφοῦ προσηυχήθη ὁ ἄνωθεν ἱερεὺς ἐπὶ πολλὰς ὥρας, καὶ ἦτο κεκοπακὼς ἐκάθησεν εἰς τὸ στασίδιον νὰ ἀναπαυθῇ ὀλίγον, καὶ ἐκεῖ κατελήφθη ὑπὸ τοῦ ὕπνου. Μόλις παρῆλθεν ὀλίγη ὥρα εἶδεν ἐν ὀνείρῳ ὅτι ἤνοιξεν ἡ στέγη τῆς Ἐκκλησίας, καὶ ἐφαίνετο ὁ οὐρανός, μέσα δὲ εἰς τὸ φωτεινότατον σύννεφον, εἶδε μίαν σεμνοτάτην γυναῖκα, ἡ ὁποία εἶχεν ὑψωμένας τὰς χεῖρας καὶ ἐπροσηύχετο, κράζουσα ἐξ ὀνόματος, Ἀμβρόσιε, μὴ φοβοῦ, ἐγὼ εἶμαι ἡ ὁσιομάρτυς Παρασκευή, καὶ σὲ βεβαιῶ, ὅτι ἐσώθη ἡ πατρίς σου.

Ἐτρόμαξεν ὁ ἱερεὺς καὶ ἐγερθεὶς ἐκ τοῦ ὕπνου, μετὰ φόβου καὶ τρόμου εἶδεν ὅτι ἔπαυσε πλέον ἡ ὀργὴ τοῦ μεγαλοδυνάμου Θεοῦ, καὶ ἤρχισε μετὰ μεγάλης χαρᾶς καὶ ἀγάπης εἰς τὸν Κύριον καὶ εἰς τὴν Ἁγίαν νὰ ψάλλῃ τὸν

Ὄρθρον του. Μόλις παρῆλθον ὀλίγα λεπτὰ τῆς ὥρας, ἦλθον ἀρκετοὶ ἐκ τῆς νήσου Χίου, εἰς τὸν Ναὸν τῆς Ἁγίας. Τότε ὁ εὐλαβέστατος Ἀμβρόσιος τοὺς διηγήθη τὴν ὀπτασίαν ἐκείνην ὅπου εἶδε. Λαβόντες πάντες καλὰς ἐλπίδας ἀπὸ τοὺς λόγους τῆς Ἁγίας Παρασκευῆς, προέβησαν εἰς λιτανείαν, καὶ οὕτως, ὢ τοῦ θαύματος, ἀφοῦ ἐξῆλθεν ἡ εἰκὼν τῆς Ἁγίας, ἐστράφη εἰς τὰ ὀπίσω ἡ πλημμυροῦσα θάλασσα, ὅπου εἶχε βαδίσει εἰς τὴν νῆσον πρὸς καταποντισμόν.

Ἡ δὲ νῆσος ἐσώθη ὡς ἐκ θαύματος τῆς Ἁγίας, ἐκ τοῦ βεβαιοτάτου μεγάλου κινδύνου, καὶ ἐδόξασαν οἱ Χριστιανοὶ τὸν Πανάγαθον Θεόν, καὶ τὴν προστάτιδα Ἁγίαν Παρασκευήν, ἑορτάζοντες μεγαλοπρεπῶς τὴν ἀπελευθέρωσίν των τὴν 14 Ὀκτωβρίου, συντάξασα καὶ ᾀσματικὴν Ἀκολουθίαν ἐπ᾽ ὀνόματι τῆς Ἁγίας.

Ἧς ταῖς πρεσβείαις καὶ ἱκεσίαις διαφυλάττει ὁ Κύριος πάντας ἡμᾶς, ἀπὸ πάσης ὀργῆς καὶ κινδύνου ἵνα λυτρωθῶμεν τῆς αἰωνίου κολάσεως, καὶ τύχωμεν τῶν αἰωνίων ἀγαθῶν. Ἀμήν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

***Ὀκτωβρ. 15 Ἁγ. Μάρτυρος Λουκιανοῦ ἦχος πλ. Α΄.***

Ὡς καλὸς στρατιώτης Χριστοῦ τοῦ πάντων Θεοῦ, ἐν τῇ χάριτι τούτου, ἐνδυναμούμενος, ὅλον μετέθηκας σαυτόν, ἐν τῇ ἀγάπῃ αὐτοῦ, Λουκιανὲ θαυματουργέ, Μάρτυς ἔνδοξε Χριστοῦ, διὸ νομίμως ἀθλήσας ἀξίως ἐστεφανώθης, ὑπὸ Κυρίου τοῦ σὲ δοξάσαντος.

***Κοντάκιον ἦχος β΄. Τὴν ἐν πρεσβείαις.***

Τὸν ἐν ἀσκήσει τὸ πρότερον λαμπρυνθέντα, καὶ ἐν ἀθλήσει τὸ δεύτερον φαιδρυνθέντα, πάντες σε ὡς φωστῆρα σὲ φαιδρότερον, Λουκιανὲ τοῖς ὕμνοις, ἐνδόξως σὲ γεραίρομεν,

πρεσβεύων μὴ παύσῃς ὑπὲρ πάντων ἡμῶν. . . (Μεγαλυνάριον).

Τοὺς Ἱερομάρτυρας τοῦ Χριστοῦ, Λουκιανὸν τὸν Θεῖον, Ἀντίοχον τὴν καλλονήν, τὸν Βάρσον τῆς Ἐδέσσης, Σαβῖνον τῆς Περσίας, ὑπὲρ ἡμῶν Κυρίῳ, ἀεὶ πρεσβεύοντας.

Γ. Α. ΒΟΥΤΕΡΗΣ Ἱερεύς.

---

## ΒΙΟΣ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ ΠΑΡΑΣΚΕΥΗΣ

α΄. Αὕτη ἡ ὁσία καὶ παναοίδιμος Παρασκευὴ ἡ νέα, ἦτο ἀπὸ μίαν χώραν τῆ Θράκης, πλησιάζουσαν τῇ Σιλυβρίᾳ, Ἐπιβάτας καλουμένην· οἱ γονεῖς της ἦσαν εὐγενεῖς καὶ ἔνδοξοι, καὶ πολὺ πλούσιοι, ἀλλὰ καὶ εὐσεβέστατοι καὶ χριστιανικώτατοι. Γεννήσαντες δὲ τὴν ὁσίαν ταύτην Παρασκευήν, τὴν ἀνέτρεφον ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου, καὶ εἰς ὅλα τὰ καλὰ καὶ θεάρεστα ἔργα τὴν ἐγύμνασαν πρεπόντως ἀπὸ τὴν μικράν της ἡλικίαν. Ὅταν δὲ ἔγεινε δέκα χρόνων, ἐπῆγε μίαν φορὰν ὁμοῦ μὲ τὴν μητέρα της εἰς μίαν Ἐκκλησίαν τῆς Παναγίας Θεοτόκου, καὶ ὅταν ἤκουσε ἡ μακαρία τὴν περικοπὴν ἐκείνου τοῦ Εὐαγγελίου, ὅπου λέγει «εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω «τὸν Σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήτω μοι», εὐθὺς ἐτρώθη ἡ καρδία της, καὶ ἐκυριεύθη ὅλη ἀπὸ τὴν θείαν ἀγάπην, καὶ ἐξελθοῦσα ἀπὸ τὴν Ἐκκλησίαν, ἤρχισεν εὐθὺς νὰ ἀρνῆται ἡ θεόφρων τὸν ἑαυτόν της, καὶ νὰ βάλλῃ εἰς ἔργον τὰ Εὐαγγελικὰ λόγια ὅπου ἤκουσε. Καὶ λοιπὸν ἐπειδὴ εἰς τὸν δρόμον ὅπου πήγαινε μετὰ τῆς μητρός της ὑπήντησε μίαν πτωχήν, λυπηθεῖσα αὐτήν, ἔκαμε τρόπον καὶ ἐλάνθασε τὴν μητέρα της, καὶ ἐπῆγε πρὸς ἐκείνην καὶ τὴν ἀντάμωσε, καὶ μὲ τρόπον πολὺ ἐπιτήδειον τὴν ἐγέλασε, καὶ τῆς ἐπῆρε τὰ παλαιὰ καὶ ξεσχισμένα ὅπου ἐφόρει ἐκείνη, ἔπειτα ἐκδυθεῖσα αὐτὰ τὰ ἰδικά της λαμπρὰ φορέματα, τὰ ἔδωσε τῆς πτωχῆς καὶ ἐφόρεσεν ἐκείνη τὰ πτωχικὰ καὶ ξεσχισμένα· ἀφ' οὗ δὲ ἦλθεν εἰς τὸ ὀσπίτιον, καὶ τὴν εἶδον οἱ γονεῖς της μὲ τοιαῦτα φορέματα, καὶ ἔμαθον τὸ γενόμενον, θέλοντες νὰ τὴν διορθώσουν, ὡς ἀνήλικον τάχα, διὰ νὰ μὴ τὸ κάμῃ ἄλλην φοράν, πολλὰ τὴν ὕβρισαν καὶ τὴν ἐφοβέρισαν ὄχι μόνον μὲ λόγια ἀλλὰ καὶ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

μὲ δαρμούς, πλὴν ἡ Παρασκευὴ δὲν ἤλλαξε τὴν φιλόπτωχον γνώμην την, ἀλλὰ καὶ δευτέραν καὶ τρίτην φοράν, καὶ πολλάκις, ἔδωσε τὰ φορέματά της εἰς τοὺς πτωχούς, καὶ οὔτε τὰς ὕβρεις ὅπου ἤκουε διὰ τοῦτο ἀπὸ τοὺς γονεῖς της ἐσυλλογίζετο, οὔτε τοὺς δαρμοὺς ὅπου ἐλάμβανεν ἐφοβεῖτο· καὶ αὐτὰ μὲν ἔκαμνε τότε ὅπου ἦτο ἀκόμη εἰς τὸ πατρικόν της ὀσπίτιον, τὰ ὁποῖα ἦτο ὡς σημεῖα καὶ προοίμια καὶ ἀρχαὶ τῆς μετὰ ταῦτα ἀρετῆς καὶ τελειότητός της.

β′. Ἀλλ' ἐπειδὴ ὁ θεῖος πόθος ἄναψε μέσα εἰς τὴν καρδίαν της, καὶ δὲν ἠδύνατο πλέον νὰ ὑπομένῃ, λανθάνει τοὺς γονεῖς, καὶ τοὺς δούλους της, καὶ ὅλους της τοὺς συγγενεῖς, καὶ ἀναχωρεῖ ἀπὸ τὴν πατρίδα της καὶ ὑπάγει εἰς τὴν Κωνσταντινούπολιν· καὶ ἀφ' οὗ ἀπήλαυσεν ὅλα τὰ θεῖα καλὰ ὅπου εἶχε τότε ἡ Κωνσταντινούπολις, ἤγουν ἀφ' οὗ ἐπροσκύνησε πολλοὺς ἁγίους Ναούς, καὶ πολλῶν ἁγίων Λείψανα, καὶ ἔλαβε τὰς εὐχὰς καὶ εὐλογίας τῶν ἁγίων ἀνδρῶν ὅπου ἐκεῖ εὑρίσκοντο, ἔφυγε καὶ ἐκεῖθεν, καὶ ἐπῆγεν ἀντικρὺ εἰς τὴν Χαλκηδόνα· καὶ ἐκεῖθεν πάλιν ἀναχωρήσασα, ἦλθεν εἰς τὴν Ἡράκλειαν εἰς τὸ μέρος τοῦ Πόντου, καὶ ὡσὰν νὰ εἶναι τις ἐγύριζε τόπους πολλούς, ἡ ἀσωματικὴ νύμφη, διὰ νὰ εὕρῃ τὸν νοητὸν αὐτῆς νυμφίον Χριστόν· τοῦτ' ἔστι διὰ νὰ εὕρῃ Ἁγίους νὰ διδαχθῇ τὴν ἀρετήν, καὶ διὰ νὰ εὕρῃ τόπον ἁρμόδιον πρὸς τὴν λατρείαν καὶ εὐαρέστησιν τοῦ Χριστοῦ, καὶ ἄλλο διὰ νὰ μὴ τὴν εὕρουν οἱ γονεῖς της καὶ τὴν ἐμποδίσουν οἱ ὁποῖοι ὀδυνώμενοι τὴν ἐζήτουν ἀπὸ τόπον εἰς τόπον· ἀλλ' οἱ μὲν γονεῖς πολλὰς πόλεις καὶ χώρας περιελθόντες καὶ μὴ εὑρόντες αὐτήν, ὑπέστρεψαν εἰς τὸ ὀσπήτιόν των καὶ ἡσύχασαν, ἡ δὲ μακαρία Παρασκευή, φθάσασα εἰς τὴν Ἡράκλειαν καθὼς εἴπομεν, εὗρε μίαν Ἐκκλησίαν τῆς Θεοτόκου, καὶ μετὰ πνευματικῆς χαρᾶς εἰσελθοῦσα εἰς αὐτήν, ἔπεσε κάτω εἰς τὸ ἔδαφος, καὶ τὸ κατέβρεξε μὲ τὰ δάκρυά της, προσευχομένη εἰς τὴν Θεοτόκον τὴν ὁδηγὸν τῆς σωτηρίας τῶν ἀνθρώπων, νὰ τὴν ὁδηγήσῃ καὶ νὰ τὴν φωτίσῃ τί νὰ κάμῃ. Ἔμεινε δὲ ἐκεῖ, εἰς τὸν ναὸν τῆς Θεοτόκου, πέντε ὁλόκληρα ἔτη, κάθε εἶδος ἀρετῆς μεταχειριζομένη καὶ ἀγωνιζομένη ἡ ἀοίδιμος μὲ προσευχὰς ὁλονυκτίους, μὲ νηστείας παντοτεινάς, μὲ κτυπήματα τοῦ στήθους, μὲ δάκρυα ἀέναα· τὸν δὲ ὀλίγον ὕπνον ὅπου διὰ τὴν ἀνάγκην τῆς φύσεως ἐλάμβανεν ἐπάνω εἰς τὴν γῆν χωρὶς στρῶμα· καὶ ἐπάνω εἰς ὅλα ἦτο θαῦμα νὰ βλέπῃ τις τὸ ταπεινόν της ἦθος, καὶ τὴν μετριοφροσύνην της· διὰ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τῶν ὁποίων ἐκαθάρισε τὴν καρδίαν της ἀπὸ ὅλα τὰ κοσμικά, καὶ πρὸς μόνον τὸν Θεὸν εἶχε γυρισμένους τοὺς λογισμούς της, καὶ τὰ φρονήματά της, καὶ ὅλην της τὴν ἐπιθυμίαν καὶ ἀγάπην. Εἶχε δὲ καὶ πόθον πολὺν νὰ ὑπάγῃ εἰς τὰ Ἱεροσόλυμα, διὰ νὰ προσκυνήσῃ τοὺς ἁγίους Τόπους, καὶ θερμῶς παρεκάλει τὸν Χριστόν, καὶ τὴν Παναγίαν αὐτοῦ Μητέρα, νὰ τὴν ἀξιώσῃ τοῦ ποθουμένου ὅθεν καὶ εἰσηκούσθη ἡ δέησίς της, ἐπειδὴ ἀφ' οὗ ἀρκετὰ ἐγυμνάσθη εἰς τὰς ἀρετὰς ἐκεῖ εἰς τὸν Ναὸν τῆς Θεοτόκου, ᾠκονόμησεν ὁ Θεὸς καὶ εὑρέθησάν τινες, καὶ τὴν ἐπῆραν εἰς τὴν συνοδίαν των, καὶ ἐπῆγε κατὰ τὸν πόθον της εἰς τὴν Ἱερουσαλήμ. Προσκυνήσασα δὲ τοὺς ἁγίους Τόπους, ἦλθεν εἰς τὴν ἔρημον τοῦ Ἰορδάνου καὶ εὑροῦσα γυναικεῖον Μοναστήριον, ἐκατοίκησεν εἰς αὐτό. Πόσους δὲ πειρασμοὺς τῆς ἔφερεν ἐκεῖ ὁ Διάβολος, καὶ μὲ πόσους ἀγῶνας αὐτὴ τὸν ἐπολέμησε καὶ τὸν ἐνίκησε, δὲν εἶναι εὔκολον νὰ τὰ γράψωμεν· πλὴν νὰ εἴπωμεν ὀλίγα τινά, διὰ νὰ φανερώσωμεν, ποίου εἴδους ἄσκησιν ἐπερνοῦσε, καὶ πῶς ἠγωνίζετο. Τὸ ποτόν της ἦτο νερὸν μόνον, καὶ τοῦτο δὲν τὸ ἔπινε χορταστικά, ἀλλὰ μὲ πολὺν ἐγκράτειαν· τὸ στρῶμά της ἦτο μία ψάθα· τὸ φόρεμά της ἦτο ἓν καὶ μόνον, καὶ αὐτὸ παλαιὸν καὶ ξεσχισμένον· ὁ ὕμνος πρὸς τὸν Θεὸν καὶ ἡ προσευχὴ ἦτο ἀκατάπαυστα εἰς τὰ χείλη της· καὶ ἐπάνω εἰς ὅλα της τὰ καλά, ἔλαμπε πάντοτε ἡ πρὸς πάντας ἀγάπη, καὶ ἡ κορυφὴ τῶν ἀρετῶν της ἦτο ἡ μετριοφροσύνη καὶ ταπείνωσις.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

γ'. Ἀφ' οὗ δὲ ἐπέρασεν εἰς αὐτὸ τὸ γυναικεῖον Μοναστήριον πολλοὺς χρόνοις, ἀγωνιζομένη μὲ πολλὰς ἀρετάς, ἐβγῆκεν ἀπὸ ἐκεῖ (οὖσα τότε εἰκοσιπέντε ἐτῶν τὴν ἡλικίαν) καὶ ἐπῆγεν εἰς τὴν Ἰόππην ἐκεῖθεν πλεύσασα μὲ καράβι, διὰ νὰ ἔλθῃ εἰς τὴν πατρίδα της, ἔπαθε πολλοὺς πειρασμοὺς καὶ τρικυμίας μέσα εἰς τὸ πέλαγος· ἀλλὰ τέλος πάντων ἦλθεν εἰς τὴν πατριδα της· πλὴν δὲν ἔμεινεν ἕως τέλους ἐκεῖ, ἀλλ' ὑπῆγε εἰς τὴν Κωνσταντινούπολιν. Ἀφ' οὗ δὲ ἐπροσκύνησεν ἐκεῖ πολλοὺς ἁγίους Ναούς, καὶ μὲ πολλοὺς ἁγίους ἄνδρας, ὠφελείας χάριν, συναναστράφη, καὶ συνωμίλησεν, ἔφυγεν ἀπὸ ἐκεῖ καὶ ἐπῆγεν εἰς τὴν χώραν ὅπου λέγεται Καλλικράτεια, καὶ ἐκατοίκησεν εἰς τὸν ναὸν τῶν ἁγίων Ἀποστόλων, καὶ ἀγωνιζομένη ἐκεῖ τοὺς συνειθισμένους της ἀγῶνας, ἐπέρασε δύο ἔτη· καὶ τότε φθάσασα εἰς τὴν τελειότητα τῆς ἀρετῆς, καὶ εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ἐπληρω-

σεν καὶ ἐτελείωσεν ὁσίως τὸν δρόμον τῆς προσκαίρου ταύτης ζωῆς, καὶ ἀπῆλθεν ἐν εἰρήνῃ εἰς τὴν αἰώνιον, καὶ κατεσκήνωσεν εἰς τὰς οὐρανίους σκηνάς, ἔνθα πάντων ἐστὶ τῶν εὐφραινομένων ἡ κατοικία· τὸ δὲ πάντιμον αὐτῆς καὶ ἅγιον Λείψανον ἐνεταφιάσθη ἐντίμως, καὶ ἔμεινε χρόνους πολλούς, κεκρυμμένον μέσα εἰς τὴν γῆν, ἕως ὅτου ἡ Ἁγία ἠθέλησε καὶ τὸ ἐφανέρωσε δι᾽ ὀπτασίας μὲ τὸν ἀκόλουθον τρόπον.

δ΄. Ἄνθρωπός τις φαυλόβιος καὶ ἁμαρτωλὸς ἀπέθανε, καὶ τὸν ἐνταφίασαν πλησίον εἰς τὸ μνῆμα τῆς Ὁσίας. Λοιπὸν δὲν ἐδέχθη ἡ Ἁγία νὰ εἶναι πλησίον εἰς τὸ ἅγιόν της Λείψανον, τοῦ ἁμαρτωλοῦ ἀνθρώπου τὸ μιαρὸν σῶμα· ὅθεν τί ἀκολουθεῖ; φαίνεται ἐν ὁράματι ἡ καθαρωτάτη, καὶ ἄμωμος Νύμφη τοῦ Χριστοῦ Παρασκευή, εἰς ἕνα ἐνάρετον ἀσκητήν, καὶ ἄξιον διὰ νὰ βλέπῃ ὀπτασίας καὶ ἀποκαλύψεις, καὶ τοῦ λέγει τὰ ἀκόλουθα λόγια· «τὰς ὀζούσας σάρκας ἆρον, καὶ πόρρω ἀποσκοράκισον ἀπ᾽ ἐμοῦ· ἥλιος γὰρ οὖσα καὶ φῶς, οὐ δύναμαι σκότους καὶ δυσωδίας ἀνέχεσθαι:» ἤγουν σήκωσαι τὰς βρωμισμένας σάρκας, καὶ ρίψετας μακρὰν ἀπ᾽ ἐμοῦ, διότι ἐγὼ εἶμαι ἥλιος καὶ φῶς, καὶ δὲν δύναμαι νὰ ὑποφέρω νὰ ἔχω πλησίον μου σκότος καὶ βρῶμαν· ἐπειδὴ δὲ ὁ ἄνθρωπος δὲν εἶχε πληροφορίαν πῶς εἶναι θεϊκὸν τὸ ὅραμα, ἀλλὰ εἶχεν ἀμφιβολίαν μήπως εἶναι ἁπλῶς ὄνειρον, διὰ τοῦτο ἀργοποροῦσε νὰ τελειώσῃ τὸ πρόσταγμα· διὰ τοῦτο φαίνεται ἡ Ἁγία καὶ δευτέραν φορὰν καὶ τοῦ λέγει τὰ ἴδια· ἀλλ᾽ ἐπειδὴ ὁ ἀσκητὴς δὲν ἠδύνατο νὰ καταλάβῃ ποία ἦτο ἡ φαινομένη, καὶ τί ἐννοοῦσε μὲ ἐκεῖνα ὅπου τοῦ ἔλεγε, φαίνεται καὶ τρίτην φοράν, καὶ μὲ φοβερισμοὺς μεγάλους τὸν προστάζει νὰ βάλῃ εἰς ἔργον ἐκεῖνο ὅπου τοῦ ἔλεγε, λέγουσα τὸ ὄνομά της ποία εἶναι, καὶ δεικνύουσα μὲ τὸν δάκτυλόν της τὸν τόπον τοῦ μνήματος. Ὁ δὲ ἡσυχαστὴς ἐκεῖνος ἐξύπνησε παρευθύς, καὶ σπουδαίως δραμὼν ἐφανέρωσε τὴν ἀποκάλυψιν εἰς τὸν λαὸν τῆς πόλεως ἐκείνης καὶ τοῦτο ἀκούσαντες ἐκεῖνοι συνέδραμον ὅλοι κοινῶς εἰς τὸν τόπον τοῦ μνήματος, ὡσὰν νὰ ἔμελλον νὰ ἀνοίξουν κανένα μεγάλον θησαυρόν, καὶ σκάπτοντες τὴν γῆν, ὅταν ἐπλησίασαν εἰς τὸ ἅγιον Λείψανον, ἐβγῆκεν πολὺ καὶ θαυμαστὴ εὐωδία· εὑρόντες δὲ αὐτό, ἐθαύμασαν καὶ ἐξεπλάγησαν, ὅτι ὕστερον ἀπὸ τόσους χρόνους ὅπου ἦτο σκεπασμένον μέσα εἰς τὴν γῆν, εὑρέθη σῶον καὶ ἀκέραιον καὶ παντάπασιν ἀδιάφθορον. Λοιπὸν ἀνακομίσαντες αὐτὸ μετ᾽ εὐλαβείας, τὸ ἔφερον μετὰ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ψαλμῳδιῶν καὶ θυμιαμάτων, καὶ τὸ ἀπέθηκαν ἐντίμως εἰς τὸν ναὸν τῶν ἁγίων Ἀποστόλων (1). Πόσα δὲ θαύματα ἐτέλεσε ὁ τῶν θαυμασίων Θεός, τότε ὅπου ἐφανερώθη τὸ ἅγιον Λείψανον καὶ τελεῖ ἀκόμη ἕως τῆς σήμερον, εἶναι ἀδύνατον νὰ τὰ γράψωμεν διὰ τὸ πλῆθος· διότι καὶ χωλοὺς καὶ ἀναπήρους, καὶ παραλυτικούς, καὶ κάθε εἴδους ἀσθενείας, καὶ κάθε πάθος θανατηφόρον ἐθεράπευσε καὶ θεραπεύει, καὶ μόνη ἡ ἁφὴ τῆς ἁγίας Λάρνακος ἀποδιώκει κάθε νόσημα· καὶ ἀφθόνως ὡς πηγὴ ἀνεξάντλητος προχέει καὶ πλημμυρεῖ τὰ ἰάματα εἰς τοὺς μετὰ πίστεως προσερχομένους· χάριτι τοῦ αὐτὴν μεγαλύναντος, καὶ ἀντιδοξάσαντος Ἰησοῦ Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν. (Ἐκ τοῦ Νέου Λειμωναρίου).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

***Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθῃ ἐφ' ἡμᾶς.***

(Ἀντίδωρον).

Εἶναι δῶρον οὐράνιον τῆς θείας χάριτος, καὶ πρέπει νὰ διανέμεται ἐκ τῆς χειρὸς τοῦ ἱερουργοῦντος Ἱερέως, ἀντὶ τοῦ δώρου τῆς θείας Μεταλήψεως, πρέπει δὲ μετὰ μεγάλου σεβασμοῦ νὰ τὸ λαμβάνουν οἱ Χριστιανοί, μὲ τὰς δύο χεῖρας, κάτωθεν ἡ ἀριστερὰ καὶ ἄνωθεν ἡ δεξιὰ ὁμοῦ ἡνωμμέναι καθὼς λέγεται: Εὐλογία Κυρίου ἔλθῃ ἐφ' ἡμᾶς Ἁμαρτάνουν λοιπὸν ἐκεῖνοι οἵτινες τὸ λαμβάνουν ἐκ τοῦ Παγκαρίου, διότι δὲν εἶναι εὐλογημένος ἄρτος, ἀλλὰ εἶναι ξηρὸς ἄρτος, καὶ οἱ κύριοι ἐπίτροποι, δὲν ἔχουν θέσιν νὰ ἐπεμβαίνουν εἰς τὰ ἱερατικὰ καθήκοντα, νὰ διανέμουν εἰς τοὺς Χριστιανοὺς τὸ ἀντίδωρον.

***Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος.***

Ὁ Ἀπόστολος Παῦλος λέγει. Στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγων εἴτε δι' ἐπιστολῆς. Ὁ αὐτός. Μὴ πάντες Ἀπόστολοι, μὴ πάντες Προφῆται, μὴ πάντες Διδάσκαλοι, τὴν παρακαταθήκην ταύτην φυλάξατε.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Γνωρίζω καλῶς, ὅτι λαμβάνουν ἀντίδωρον καὶ τῶν ἄλλων δογμάτων οἱ ὀπαδοί· π. χ. Λατῖνοι, ὅπου δὲν ἐπιτρέπεται εἰς αὐτούς. Εἶμαι ἐνήμερος τοῦ τοιούτου γεγονότος. Μὴ δότε τὰ Ἅγια τοῖς κυσί.. λέγει ὁ Κύριος. Δὲν ἐπιτρέπεται νὰ ἐξέρχεται ἔξω τὸ ἀντίδωρον, εἰμὴ μόνον εἰς ἀσθενεῖς, καὶ εἰς τὸν ἑορτάζοντα ἐξαιρετικῶς, οὔτε ἄλλος ἀντὶ ἄλλου νὰ τὸ λαμβάνῃ. Εἶναι νόμος, διάταξις τῆς Ἐκκλησίας· ὁ νοῶν νοείτω. Ἰησοῦς Χριστός· χθές, καὶ σήμερον ὁ αὐτός, καὶ εἰς τοὺς αἰῶνας.

Εὑρίσκονται παρ' ἐμοὶ αἱ ἑξῆς Ἀκολουθίαι Ἁγίου μάρτ. Ἰσιδώρου, Θεοκτίστης τῆς Λεσβίας. Ἱερομάρτυρος Ἀντίπα. Τῆς Μυρτιδιοτίστης, Ἁγίας Φωτεινῆς, καὶ Ἁγίου Στυλιανοῦ.

Ἐγράφη ἡ παροῦσα Ἀκολουθία τῆς Ἁγίας Παρασκευῆς κατὰ μῆνα Ἰούλιον τοῦ ἔτους 1920 παρ' ἐμοῦ τοῦ ἐφημερίου τοῦ Ναοῦ ὁσίου Μελετίου Γεωργίου Α. Βουτέρη, ἱερέως Πνευματικοῦ καὶ Προσκυνητοῦ. Ἡ θεία χάρις μεθ' ὑμῶν.

***Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθῃ ἐφ' ἡμᾶς.***

('Αντίδωρον).

Εἶναι δῶρον οὐράνιον τῆς θείας χάριτος, καὶ πρέπει νὰ διανέμεται ἐκ τῆς χειρὸς τοῦ ἱερουργοῦντος Ἱερέως, ἀντὶ τοῦ δώρου τῆς θείας Μεταλήψεως, πρέπει δὲ μετὰ μεγάλου σεβασμοῦ νὰ τὸ λαμβάνουν οἱ Χριστιανοί, μὲ τὰς δύο χεῖρας, κάτωθεν ἡ ἀριστερὰ καὶ ἄνωθεν ἡ δεξιὰ ὁμοῦ ἡνωμμέναι καθὼς λέγεται: Εὐλογία Κυρίου ἔλθῃ ἐφ' ἡμᾶς Ἁμαρτάνουν λοιπὸν ἐκεῖνοι οἵτινες τὸ λαμβάνουν ἐκ τοῦ Παγκαρίου, διότι δὲν εἶναι εὐλογημένος ἄρτος, ἀλλὰ εἶναι ξηρὸς ἄρτος, καὶ οἱ κύριοι ἐπίτροποι, δὲν ἔχουν θέσιν νὰ ἐπεμβαίνουν εἰς τὰ ἱερατικὰ καθήκοντα, νὰ διανέμουν εἰς τοὺς Χριστιανοὺς τό ἀντίδωρον.

– Ὁ Ἀπόστολος Παῦλος λέγει. Στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγων εἴτε δι' ἐπιστολῆς. Ὁ αὐτός. Μὴ πάντες Ἀπόστολοι, μὴ πάντες Προφῆται, μὴ πάντες Διδάσκαλοι, τὴν παρακαταθήκην ταύτην φυλάξατε.

Γνωρίζω καλῶς, ὅτι λαμβάνουν ἀντίδωρον καὶ τῶν ἄλλων δογμάτων οἱ ὀπαδοί· π. χ. Δυτικοί, ὅπου δὲν ἐπιτρέπεται εἰς αὐτούς. Εἶμαι ἐνήμερος τοῦ τοιούτου γεγονότος. Μὴ δότε τὰ Ἅγια τοῖς κυσί . . λέγει ὁ Κύριος. Δὲν ἐπιτρέπεται νὰ ἐξέρχεται ἔξω τὸ ἀντίδωρον, εἰμὴ μόνον εἰς ἀσθενεῖς, καὶ εἰς τὸν ἑορτάζοντα ἐξαιρετικῶς, οὔτε ἄλλος ἀντὶ ἄλλου νὰ τὸ λαμβάνῃ. Εἶναι νόμος, διάταξις τῆς Ἐκκλησίας· ὁ νοῶν νοείτω. Ἰησοῦς Χριστός· χθές, καὶ σήμερον ὁ αὐτός, καὶ εἰς τοὺς αἰῶνας.

Εὑρίσκονται παρ' ἐμοὶ αἱ ἑξῆς Ἀκολουθίαι Ἁγίου μάρτ. Ἰσιδώρου, Θεοκτίστης τῆς Λεσβίας, Ἱερομάρτυρος Ἀντίπα. Τῆς Μυρτιδιοτίστης, Ἁγίας Φωτεινῆς, καὶ Ἁγίου Στυλιανοῦ.

Ἐγράφη ἡ παροῦσα Ἀκολουθία τῆς Ἁγίας Παρασκευῆς κατὰ μῆνα Ἰούλιον τοῦ ἔτους 1920 παρ' ἐμοῦ τοῦ ἐφημερίου τοῦ Ναοῦ ὁσίου Μελετίου Γεωργίου Α. Β ουτέρη, ἱερέως Πνευματικοῦ καὶ Προσκυνητοῦ. Ἡ θεία χάρις μεθ' ὑμῶν·

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ